ὀχεύω. Εἰ σφόδρα] εἰ σφόδρα ἐπιθυμεῖς τὸν γέροντα πυγίζειν, τὴν σανίδα τρήσας ἐξόπισθεν πρώκτιζε, πρώκτιζον, τουτέστι πύγιζον. Ἀλλὰ λύσω δεσμά] ὁ δεσμός, οὗ. ἐνεργητικῶς, καὶ ἐν τῷ πληθυντικῷ οἱ δεσμοί, τοὺς δεσμούς, καὶ τὰ δεσμὰ οὐδετέρως. οὕτω γάρ, ὥς φησιν Εὐστάθιος, καὶ τοὺς λύχνους, καὶ τοὺς δίφρους, λύχνα, καὶ δίφρα οἱ παλαιοὶ ἔλεγον. γράφεται καὶ δέμας ἀντὶ τοῦ δεσμά. ἀλλὰ τὸ μέτρον ταύτην τὴν γραφὴν προσδέχεσθαι οὐ δύναται. Τὸ κεπαλῆς ἄρα] τὴν κεφαλὴν ἄρα αὕτη ἡ ξιφομάχαιρα ἀποκόψει. Αἶ αἶ τί δράσω;] Εὐελπίδης τῆς ἐλπίδος ἁμαρτὼν ταῦτα μόνος αὐτὸς μεθ' αὑτοῦ λέγει, καὶ πρὸς καινὰς τέχνας, καὶ ἀπάτας αὑτὸν παρασκευάζει. Οἷον ἐπιθηκίζει μοι] οἷον ἐμὲ πιθηκίζει, καὶ ἀπατᾶν πειρᾶται ὥσπερ μιαρὰ ἀλώπηξ. πιθηκίζειν δὲ παρὰ τὸν πίθηκον εἴρηται. πίθηκος, ζῷον, ἡ μιμώ, παρὰ τὸ πείθειν ἡμᾶς. ὅθεν τὸ πιθηκίζειν, τὸ τὸν πίθηκον δόλοις, ἀπάταις, καὶ κολακεύμασι μιμεῖσθαι. Ὡς καταλειπεῖς] εἴπερ ἡ γραφὴ καλῶς ἔχει, ὡς παρὰ τὸ τύπτω, τὸ τυπτέω, ῶ. γίνεται, οὕτω καὶ παρὰ τὸ καταλείπω, τὸ καταλειπῶ περισπώμενον. ἔστι τοῦτο δὲ ἀττικῶς. τὸ δὲ ἐπιτυμεῖς ἀντὶ τοῦ ἐπιθυμεῖς εἴρηται τῷ βαρβάρῳ. Παλλάδα] ἑτέρα χοροῦ ᾄδοντος, καὶ ὀρχουμένου στροφή. στίχοι δὲ μικτοί εἰσι κδ'. Ἄζυγα κόρην] τὴν γάμῳ μὴ ζευχθεῖσαν. ἄζυγες ἵπποι, οἱ μὴ ἐζευγμένοι.

Ἣ πόλιν ἡμετέραν ἔχει,
Καὶ κράτος φανερὸν μόνη,
Κληδοῦχός τε καλεῖται.
Φάνηθ' ὦ τυράννους
Στυγοῦσ' ὥσπερ εἰκός.
Δῆμός τοί σε καλεῖ γυναι-
κῶν. ἔχουσα δέ μοι μόλοις
Εἰρήνην φιλέορτον.
Ἥκετ' εὔφρονες, ἵλαοι
Πότνιαι ἄλσος ἐς ὑμέτερον.
Οὗ δὴ ἀνδράσιν οὐ
Θεμιτὸν εἰσορᾶν
Ὄργια σεμνὰ θεαῖν.
Ἵνα λαμπάσι φαί-
νετον ἄμβροτον ὄψιν.
Μόλετον. ἔλθετον. αἰτόμεθ' ὦ
Θεσμοφόρω πολὺ πότνια.
Εἰ γὰρ πρότερον ποτ' ἐπηκόω
Ἤλθετον, νῦν ἀφίκε-
σθον ἱκετεύομεν ἐνθάδ' ἡμῖν.

*Quæ vrbem nostram habet,*
*Et imperium manifestum sola,*
*Tutelarísque appellatur.*
*Appare ô tyrannos*
*Odio prosequens, quemadmodũ conueniens est,*
*Populus quidem te inuocat*
*Mulierum, habens autem mihi venias,*
*Pacem amicam festorum.*
*Venite lætæ, propitiæ,*
*Venerandæ lucum in vestrum.*
*Cuius quidem viris non*
*Fas est intueri*
*Sacra veneranda Dearum,*
*Vt facibus*
*Luceatis immortali aspectu.*
*Venite, accedite precamur,*
*O Ceres & Proserpina longè venerandæ.*
*Si prius vnquam propitiæ & exaudientes*
*Venistis, nunc venite,*
*Oramus huc nobis.*

BISETVS. Ἣ πόλιν ἡμετέραν ἔχει] ὅθεν πολιοῦχος Ἀθηνῶν.

BOVRDINVS. Κληδοῦχος.] τουτέστι κλεῖς ἔχουσα τῆς πόλεως καὶ ἐκείνας πιστευθεῖσα. Στυγοῦσα] μισοῦσα. Δῆμος.] τὸ πλῆθος. Φιλέορτον.] φιλοῦσαν ἑορτάς. Ἵλαοι.] εὐμενεῖς, πρᾶαι, φιλάνθρωποι, ἐπιχαιρέσαται. Ὄργια σεμνά] σεμνὰς ἑορτάς. Ἄμβροτον ὄψιν.] ἀθάνατον. Αἰτόμεθα] εὐχόμεθα. Ἐπηκόω.] τουτέστι πράως καὶ εὐμενῶς ἠκούσατε.

BISETVS. Κληδοῦχος] ἡ κλῇδας, εἴτε κλεῖδας ἔχουσα. ἐπίθετον Ἀθηνῆς, ὡς νῦν δέσποιναν, καὶ τὰς τῆς πόλεως κλεῖδας ἔχουσαν, καὶ τηροῦσαν δηλοῖ, στυγοῦσα δέ, μισοῦσα. μόλοις, ἔλθοις. παρὰ τὸ μολεῖν τὸ ἔρχεσθαι. πότνιαι δέ, πότνιαι, σεβασταί, ἔντιμοι, καὶ δέσποιναι. ὅθεν τὸ ποτνιᾶν, καὶ ποτνιᾶσθαι τὸ ἱκετεύειν. ἄλσος δέ, τόπος σύνδενδρος οὕτω καλεῖται. ἄλσεα, τεμένη, οἱ κάθυγροι, καὶ σύμφυτοι λειμῶνες, καὶ τόποι κατάδενδροι, πρὸς ἄλσιν, καὶ αὔξησιν τοῦ φυτοῦ ὄντες ἐπιτήδειοι. Θεαῖν] τῆς Δήμητρος, καὶ τῆς Κόρης, ἃς καλεῖ θεσμοφόρω πολὺ πότνια. αἰτόμεθα δέ, εἴπερ ἡ γραφὴ καλῶς ἔχει, μέτρου χάριν εἴρηται, ἀντὶ τοῦ αἰτούμεθα. δεόμεθα, ἱκετεύομεν. Ἐπηκόω δέ, ἀπὸ τοῦ ἐπήκοος, ὅπερ ἐνταῦθα λη πλέον ἀντὶ τοῦ ἵλαος, εὐμενής. ἀλλαχοῦ δὲ ἐπήκοοι κατὰ τὸν Ἡσύχιον, οἱ κεῖται, καὶ οἱ μάρτυρες, καὶ οἱ δικάζοντες λέγονται.

ΕΥΡΙΠΙΔΗΣ, ΧΟΡΟΣ.

Ευ. Γυναῖκες εἰ βούλεσθε τὸν λοιπὸν χρόνον
Σπονδὰς ποιήσασθαι πρὸς ἐμέ, νυνὶ πάρα.
Ἐφ' ᾧ τ' ἀκούσαι μηδὲν ὑπ' ἐμοῦ μηδαμὰ
Κακὸν τὸ λοιπὸν ταῦτ' ἐπικηρυκεύομαι.
Χο. Χρείᾳ δὲ ποίᾳ τόνδ' ἐπεισφέρεις λόγον.

EVRIPIDES, CHORVS.

EV. *MVlieres, si vultis in reliquum tempus*
*Fœdera facere mecum, nunc licet*
*Hac conditione, vt audiatis nullum à me vnquam*
*Malum posthac, hæc fœdera compono.*
CHO. *Qua verò necessitate hanc affers nobis orationem?*

BOVR. Σπονδὰς ποιήσασθαι,] σπένδεσθαι. Ἐφ' ᾧ.] τουτέστι ἐπὶ τῷ ἀκοῦσαι μηδὲν ὑπ' ἐμοῦ μηδαμῶς. Ἐπικηρυκεύομαι] ταῦτα τὰ κηρύγματα ποιῶ. Χρείᾳ δὲ ποίᾳ] τουτέστι ἐπὶ ποίᾳ χρείᾳ. Ἐπεισφέρεις] ἐπάγεις τοιοῦτον τὸν λόγον.